κήρυκι. Καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀνατολίου πατριάρχου Κωνσταντινουπόλεως. Τροπάριον, τοῦ μάρτυρος. Ὁ μάρτυς σου Κύριε. Καὶ τοῦ ἱεράρχου. Κανόνα πίστεως.

Εἰς τὰς, δ΄. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν, Ἀνδρέου Κρήτης, τοῦ Ἱεροσολυμίτου. Τροπάριον. Κανόνα πίστεως. Κοντάκιον, ἦχος β΄. Πρὸς τὰ ἄνω ζητῶν. Σαλπίσας τρανῶς, τὰ θεῖα μελῳδήματα. ἐδείχθης φωστήρ, τῷ κόσμῳ τηλαυγέστατος. τῷ φωτὶ λαμπόμενος τῆς Τριάδος, Ἀνδρέα ὅσιε. ὅθεν πάντες βοῶμέν σοι. μὴ παύσῃ πρεσβεύων, ὑπὲρ πάντων ἡμῶν.

Εἰς τὰς, ε΄. Τῆς ὁσίας Μάρθας, μητρὸς τοῦ ἁγίου Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. Καὶ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου, τοῦ ἐν τῷ Ἄθῳ. Καὶ τοῦ ὁσίου Λαμπαδοῦ. Τροπάριον, τῆς ὁσίας. Ἐν σοὶ μῆτερ ἀκριβῶς. Τροπάριον, τοῦ ὁσίου Ἀθανασίου, ἦχος γ΄. Τὴν ἐν σαρκὶ ζωήν σου, κατεπλάγησαν ἀγγέλων τάγματα, πῶς μετὰ σώματος, πρὸς ἀοράτους συμπλοκὰς ἐχώρησας ἀοίδιμε. καὶ κατετραυμάτισας τῶν δαιμόνων τὰς φάλαγγας. ὅθεν Ἀθανάσιε, ὁ Χριστός σε ἠμείψατο πλουσίαις δωρεαῖς. διὸ πάτερ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Κοντάκιον, ἦχος β΄. Πρὸς τὰ ἄνω ζητῶν. Χριστοῦ τὸν ζυγόν, λαβὼν Ἀθανάσιε. καὶ σοῦ τὸν σταυρόν, ἐπ᾽ ὤμων ἀράμενος. μιμητὴς παμάριστος τῶν αὐτοῦ παθημάτων γέγονας. κοινωνός τε τῆς δόξης αὐτοῦ, τῆς θείας μετέχων, καὶ ἀλήκτου τρυφῆς.

Εἰς τὰς, ϛ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν Σισώη τοῦ μεγάλου. Τροπάριον, ἦχος πλ. δ΄. Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος. Κοντάκιον. Πρὸς, ἐπεφάνης σήμερον. Ἐξασκήσας, ἄγγελος ἐν γῇ ὡράθης. καταυγάζων ὅσιε, τὰς διανοίας τῶν πιστῶν, θεοσημείοις ἑκάστοτε. ὅθεν σε πίστει Σισώη γεραίρομεν.

Εἰς τὰς, ζ΄. Τῶν ὁσίων πατέρων ἡμῶν, Θωμᾶ τοῦ ἐν τῷ Μαλεῷ. Καὶ Ἀκακίου τοῦ ἐν τῇ Κλίμακι. Καὶ τῆς ἁγίας μεγαλομάρτυρος Κυριακῆς. Ἀλληλούϊα.

Εἰς τὰς, η΄. Τοῦ ἁγίου μεγαλομάρτυρος, Προκοπίου. Ἑσπέρας ἡ συνήθης στιχολογία. Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια τοῦ ἁγίου, ἦχος δ΄. Πρὸς ὡς γενναῖον ἐν μάρτυσιν. Οὐρανόθεν ἡ κλῆσίς σου. Δόξα, ἦχος πλ. β΄. Ἐξέλαμψας σήμερον. Καὶ νῦν τῆς θεοτόκου. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος πλ. δ΄. Ταῖς μυστικαῖς λαμπηδόσι. Καὶ νῦν, θεοτοκίον. Τροπάριον. Ὁ μάρτυς σου Κύριε. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία. Ἀνάγνωσις ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου. Τὸ δὲ λοιπόν, εἰς τὴν τράπεζαν. Κανόνες τῆς ὀκτωήχου, καὶ τοῦ ἁγίου εἰς ἕξ. Ἀφ᾽ ἕκτης τὸ κοντάκιον. πρὸς τὰ ἄνω ζητῶν. Τῷ ζήλῳ Χριστοῦ, τῷ θείῳ πυρπολούμενος. Εἰς τοὺς αἴνους, στιχηρὰ προσόμοια, πρὸς τὸ, ἔδωκας σημείωσιν. Δόξα, ἦχος δ΄. Κογχύλη αἵματος τοῦ μαρτυρίου. Καὶ νῦν, θ΄. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος πλ. δ΄. Ὥσπερ Παῦλος τὴν κλῆσιν. Καὶ νῦν, θ΄. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τοῦ κανόνος τοῦ ἁγίου, ᾠδὴ γ΄, καὶ ϛ΄. Ὁ ἀπόστολος, πρὸς Τιμόθεον, α΄, ἐπιστολῆς. Τέκνον Τιμόθεε. πιστὸς ὁ λόγος. Ζήτει κυριακῇ, λβ΄. Ἀλληλούϊα. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

σει. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ κύριος· ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ. Ζήτει κυριακῇ, τῶν ἁγίων πάντων. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον, ἔσται δίκαιος.

Εἰς τὰς, θ΄. Τοῦ ἁγίου ἱερομάρτυρος, Παγκρατίου, ἐπισκόπου Ταυρομενίας. Ἀλληλούϊα. ἢ τροπάριον. Καὶ τρόπων μέτοχος.

Εἰς τὰς, ι΄. Τῶν ἁγίων, με΄, μαρτύρων, τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας. τροπάριον. Οἱ μάρτυρές σου κύριε. ἢ. Ἀλληλούϊα.

Εἰς τὰς, ια΄. Τῆς ἁγίας καὶ πανευφήμου μάρτυρος Εὐφημίας. ἤτοι τοῦ ὅρου τῶν πατέρων. Εἰς τὸ λυχνικόν, ἡ ἀκολουθία ἁπλῶς. Εἰς τὸ κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια τῆς ἁγίας, ἦχος, δ΄. πρὸς Ὡς γενναῖον ἐν μάρτυσιν. Παρθενίας ἐν κάλλεσι. Δόξα, ἦχος, πλ. β΄. Ἐκ δεξιῶν τοῦ σωτῆρος. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος, πλ. δ΄. Ἡ διηνθισμένη ταῖς ἀρεταῖς. καὶ νῦν, θεοτοκίον. τροπάριον, ἦχος, δ΄. Ἡ ἀμνάς σου Ἰησοῦ. Εἰς τὸν ὄρθρον, ἡ ἀκολουθία ἁπλῶς. Κανόνες τῆς ὀκτωήχου καὶ τῆς ἁγίας, εἰς, ς΄. Ἀναγινώσκομεν καὶ τὸ ἐγκώμιον τό, εἰς τὴν ἁγίαν. Ἀπὸ γ΄, ᾠδῆς τὰ καθίσματα. Ἀπὸ ς΄ ἐκτῆς τὸ κοντάκιον, ἦχος, πλ. β΄. Ἀγῶνας ἐν ἀθλήσει. ἀγῶνας ἐν τῇ πίστει κατεβάλλου θερμῶς. ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου. ἀλλὰ καὶ νῦν ὡς τὰς αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν βασιλέων ἡμῶν ὑποταγῆναι πρέσβευε, διὰ τῆς θεοτόκου. ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων πατέρων. τὸν ὅρον λαβοῦσα, καὶ φυλάττουσα, πανεύφημε. Εἰς τοὺς αἴνους στιχηρὰ ἀπὸ τοῖς, γ΄, τρίτοις, δευτεροῦντες τό, α΄. Δόξα, ἦχος, πλ. δ΄. Πᾶσα γλῶσσα κινείσθω πρὸς εὐφημίαν. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον στιχηρά, τῆς ὀκτωήχου. Δόξα, ἦχος, α΄. [illegible] χοροὶ πατέρων πανεύφημε. καὶ νῦν, θεοτοκίον. Εἰς τὴν λειτουργίαν τυπικά. Καὶ οἱ μακαρισμοὶ τοῦ δ΄, ἤχου, εἰς, ς΄. Καὶ τῆς ἁγίας, ἡ, γ΄, ᾠδή, εἰς, δ΄. προκείμενον, ἦχος, δ΄. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. στίχος. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεόν. ὁ ἀπόστολος. Πρὸς Κορινθίους δευτέρας ἐπιστολῆς. Ἀδελφοί, συνεργοῦντες παρακαλοῦμεν. Ζήτει κυριακῇ, ις΄. Ἀλληλούϊα, Ὑπομένων ὑπέμεινα τόν. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ ἠρώτησέ τις τῶν Φαρισαίων τὸν Ἰησοῦν. Ζήτει τῇ, β΄. τῆς, δ΄, ἑβδομάδος, τοῦ Λουκᾶ. Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ.

Εἰς τὰς, ιβ΄. Τῶν ἁγίων μαρτύρων, Πρόκλου καὶ Ἱλαρίωνος. Καὶ τοῦ ὁσίου Μιχαὴλ τοῦ Μαλείνου. Ἀλληλούϊα.

Εἰς τὰς, ιγ΄. Σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν, Ἰωσὴφ Θεσσαλονίκης τοῦ ὁμολογητοῦ. τροπάριον. Τῶν οὐρανίων στρατιῶν. καὶ κοντάκιον. Τοῦ ἀρχαγγέλου. πρὸς τὴν ὑπὲρ ἡμῶν. Ὁ ἐν οὐρανοῖς, καθορῶν θεοῦ τὴν δόξαν. καὶ τοῦ ὁσίου. Ὀρθοδοξίας ὁδηγέ. Τὴν δὲ ἄλλην ἀκολουθίαν. Ζήτει τῶν ἀσωμάτων.

Εἰς τὰς, ιδ΄. Τοῦ ἁγίου ἀποστόλου Ἀκύλα, ἑνὸς τῶν ἑβδομήκοντα. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου, τοῦ ἁγιοσαββίτου. Ἀλληλούϊα.

Εἰς τὰς, ιε΄. Τῶν ἁγίων μαρτύρων κηρύκου καὶ ἰουλίττης. Ἑσπέρας ἡ συνήθης στιχολογία. Εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ προσόμοια, ἦχος, δ΄. Πρὸς ὡς γενναῖ... μάρτυσιν... ἡ τροφὴ ... μον. Δόξα, ἦχος, πλ. β΄. Δεῦτε καὶ θεάσασθε. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος, πλ. δ΄. Ὁ τρεῖς τὴν τριάδα. καὶ νῦν, θεοτοκίον. τροπάριον, ἦχος, δ΄. Οἱ μάρτυρές σου κύριε. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία. Καὶ ἀναγινώσκομεν τὸ μαρτύριον τῶν ἁγίων.

Κανόνες τῆς ὀκτωήχου, καὶ τῶν ἁγίων, εἰς, ϛ΄. Ἀπὸ ᾠδῆς, γ΄, καθίσματα. Ἀπὸ ἕκτης κοντάκιον, ἦχος, δ΄. πρὸς ... ἐπεφάνης σήμερον. Ἐν ... αις φέρουσα ἡ χριστομάρτυς. ἰουλίττα κήρυκον, ἐν τῷ σταδίῳ ἀνδρικῶς, ἀγαλλομένη ἐκραύγαζε. Χριστὸς ὑπάρχει μαρτύρων τὸ καύχημα. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα ἦχος, δ΄. Ἀγάλλου, τέρπου, χόρευε. καὶ νῦν, θεοτοκίον. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τοῦ κανόνος. Εὐαγγέλιον, ζήτει σαββάτω, ι΄. τοῦ λουκᾶ. Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ. Ἡ ἀκολουθία, ζήτει εἰς μάρτυρας.

Εἰς τὰς, ιϛ΄. Τοῦ ἁγίου ἱερομάρτυρος ἀθηνογένους. Καὶ τῶν δέκα αὐτοῦ μαθητῶν. Ἡ τούτου ἀκολουθία ψάλλεται, ἐν τοῖς ἀποδείπνοις.

Δεῖ εἰδέναι, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ ἤγουν τῇ, ιϛ΄, τοῦ ἰουλίου μηνός, μνήμην ἐπιτελοῦμεν, τῶν ἁγίων πατέρων τῶν ἐν τῇ πρώτῃ συνόδῳ, κατὰ νίκαιαν συνελθόντων, τιη. καὶ τῶν ἐν τῇ δευτέρᾳ συνόδῳ, συνελθόντων, ἐν τῇ βασιλίδι τῶν πόλεων, ρν. καὶ τῶν ἐν τῇ γ΄. ἐν ἐφέσῳ. σ. καὶ τῶν ἐν τῇ τετάρτῃ, ἐν χαλκηδόνι, χλ΄. καὶ τῶν ἐν τῇ πέμπτῃ, ρξε. καὶ τῶν ἐν τῇ ἕκτῃ, ρο.

Ζήτει τὴν ἀκολουθίαν τῶν ἁγίων πατέρων, κυριακή, ϛ΄, μετὰ τὸ πάσχα. ἀπαραλλάκτως γὰρ ποιοῦμεν τὴν τοιαύτην ἀκολουθίαν. Εἰς τὴν λειτουργίαν προκείμενον, ἦχος, πλ. β΄. Εὐφράνθητε ἐν κυρίῳ. καὶ ἀγαλλιᾶσθε δίκαιοι. στίχος. Μακάριοι ὧν ἀφέθησαν, ὁ ἀπόστολος, πρὸς τίτον. Πιστὸς ὁ λόγος. Ἀλληλούϊα. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον, ζήτει τῶν ἁγίων πατέρων. Κοινωνικόν. Εἰς μνημόσυνον.

Εἰς τὰς, ιζ΄. Τῆς ἁγίας μάρτυρος μαρίνης. Ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ προσόμοια, ἦχος, πλ. δ΄. Πρός, ὢ τοῦ παραδόξου θαύματος. Ὢ τοῦ παραδόξου θαύματος, τὴν ἐπηρμένην ὀφρύν. Δόξα, ἦχος, β΄. Ἐν φωνῇ ἀγαλλιάσεως. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, τῆς ὀκτωήχου. Δόξα, ἦχος, β΄. Ἐν πόλει τοῦ θεοῦ ἡμῶν. καὶ νῦν, θ΄. Ἀπολυτίκιον, ἦχος, δ΄. Ἡ ἀμνάς σου ἰησοῦ. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία. Ὁ κανὼν, τῆς ὀκτωήχου, καὶ τῆς ἁγίας. Ἀπὸ ἕκτης τὸ κοντάκιον, ἦχος, γ΄. πρὸς. Ἡ παρθένος σήμερον. Παρθενίας κάλλεσι πεποικιλμένη παρθένε. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος α΄. Ὡς πέτρα στερρά. καὶ νῦν, θ΄. Εἰς τὴν λειτουργίαν τυπικά, καὶ ἐκ τοῦ κανόνος τῆς ἁγίας, ᾠδή, γ΄, καὶ ᾠδή, ϛ΄. καὶ τὰ λοιπά. Ζήτει, εἰς μάρτυρας.

Εἰς τὰς, ιη. Τοῦ ἁγίου μάρτυρος αἰμιλιανοῦ. Καὶ τοῦ ἁγίου μάρτυρος, ὑακίνθου τοῦ ἐν ἀμάστριδι.

Ἀλληλούϊα.

Εἰς

Εἰς τὰς ιθ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν Δίου. Καὶ τῆς ὁσίας μητρὸς ἡμῶν, Μακρίνης, ἀδελφῆς τοῦ μεγάλου Βασιλείου. Τροπάριον τοῦ ὁσίου. Τῆς ἐρήμου πολίτης. Καὶ τῆς ὁσίας. Τροπάριον. Ἐν σοὶ μῆτερ ἀκριβῶς.

Εἰς τὰς κ΄. Τοῦ ἁγίου ἐνδόξου προφήτου Ἠλιοῦ. Ἑσπέρας ἡ συνήθης στιχολογία. Εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρά, ἦχος α΄. πρός, Τῶν οὐρανίων ταγμάτων. στιχηρὰ γ΄. Ὁ τὸν Θεσβίτην Ἠλίαν. Καὶ ἕτερα, ἰδιόμελα γ΄, ἦχος β΄. Φωστῆρες ἀνέτειλαν τῇ οἰκουμένῃ δύο. Δόξα, ἦχος πλ. β΄. Δεῦτε τῶν ὀρθοδόξων τὸ σύστημα. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος πλ. β΄. Προφῆτα κῆρυξ Χριστοῦ. καὶ νῦν, θεοτοκίον. Τροπάριον, ἦχος δ΄. πρός. Ταχὺ προκατάλαβε. Ὁ ἔνσαρκος ἄγγελος τῶν προφητῶν ἡ κρηπίς. ὁ δεύτερος πρόδρομος, τῆς παρουσίας Χριστοῦ. Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν. νόσους ἀποδιώκειν, καὶ λεπροὺς καθαρίζειν. διὸ καὶ τοῖς τιμῶσιν αὐτόν, βρύει ἰάματα. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία. Οἱ κανόνες τῆς ὀκτωήχου, καὶ τοῦ ἁγίου, εἰς ς΄. Μετὰ τὴν ἕκτην τὸ κοντάκιον, ἦχος β΄. Προφῆτα καὶ προόπτα τῶν μεγαλουργιῶν τοῦ Θεοῦ ἡμῶν Ἠλία μεγαλώνυμε, ὁ τῷ φθέγματί σου στήσας ὑδατοῤῥύτα νέφη. Πρέσβευε ὑπὲρ ἡμῶν τὸν μόνον φιλάνθρωπον. Εἰς τοὺς αἴνους, στιχηρὰ προσόμοια, καὶ ἰδιόμελα γ΄, εἰς στίχους ς΄. πρός. Τί ὑμᾶς καλέσωμεν ἅγιοι, ἦχος δ΄. Ὅτε σὺ προφῆτα θεσπέσιε. Καὶ τὰ ἰδιόμελα γ΄, ἦχος α΄. Ἠλίας ὁ ζηλωτής. Δόξα, ἦχος πλ. δ΄. Τῶν προφητῶν τοὺς ἀκραίμονας. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, τῆς ὀκτωήχου. Δόξα, ἦχος δ΄. Ἐν πυρίνῳ ἅρματι. καὶ νῦν, θεοτοκίον. Τὴν δὲ ἀκολουθίαν τῆς λειτουργίας. ζήτει, Ἰουνίῳ, εἰς τὰς ιδ΄.

Εἰς τὰς κα΄. Τῶν ὁσίων πατέρων ἡμῶν, Συμεὼν τοῦ διὰ Χριστὸν σαλοῦ. Καὶ Ἰωάννου συνασκητοῦ αὐτοῦ. Καὶ τοῦ ἁγίου προφήτου Ἰεζεκιήλ. Τροπάριον. Ὁ Θεὸς τῶν πατέρων ἡμῶν. καὶ τοῦ προφήτου. Τοῦ προφήτου σου τὴν μνήμην. Κοντάκιον τῶν ὁσίων. πρός, Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους. Τὸν ἐν σαρκὶ ἀναφανέντα ἄσαρκον, καὶ ἀρεταῖς ὑπερκοσμίως λάμψαντα. Συμεὼν ἰσάγγελον καὶ θεοφόρον εὐφημήσωμεν. σὺν τούτῳ Ἰωάννην τὸν ἀοίδιμον ἐν πίστει καὶ ἀγάπῃ. ὡς πρεσβεύοντας κοινῶς ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

Εἰς τὰς κβ΄. Τῆς ἁγίας μυροφόρου καὶ ἰσαποστόλου, Μαρίας τῆς Μαγδαληνῆς. Καὶ ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος, Φωκᾶ. Εἰς τὸ λυχνικὸν ἑσπέρας, ἡ συνήθης στιχολογία. Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια τῆς ἁγίας, γ΄. καὶ τοῦ ἱερομάρτυρος, γ΄. Τῆς μὲν ἁγίας, ἦχος α΄. πρὸς Πανεύφημοι μάρτυρες. Μύρα προσκομίσασα Χριστῷ. Τοῦ δὲ μάρτυρος, ἦχος δ΄. πρὸς Ὡς γενναῖον ἐν μάρτυσιν. Τῇ δυνάμει τῶν λόγων σου. Δόξα, καὶ νῦν, ἦχος πλ. β΄. Πρώτη κατιδοῦσα τὴν θείαν ἀνάστασιν. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, καὶ νῦν, ἦχος πλ. δ΄. Τῷ ἑκουσίως πτωχεύσαντι. Τροπάριον, ἦχος α΄. πρὸς τὸν τάφο[illegible]υ Σῶτερ. Χριστῷ τῷ δι' ἡμᾶς, ἐκ Παρθένου τεχθέντι. σεμνὴ Μαγδαληνή, ἠκολούθης Μαρία. αὐτοῦ τὰ δικαιώματα, καὶ τοὺς νόμους φυλάττουσα.

ὅθεν σήμερον, τὴν πανήγυριν σου μνήμην ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, διὰ χάριτος σου λαμβάνομεν. Εἰς τὸν ὄρθρον, αἱ συνήθεις στιχολογίαι, οἱ κανόνες τῆς ὀκτωήχου. καὶ τῶν ἁγίων, β΄. Ἀπὸ ϛ΄ ἐκτῆς κοντάκιον, ἦχος, γ΄. πρός, ἡ παρθένος σήμερον. Τὴν ἰὼ Χριστοῦ μαθήτριαν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ὀκτωήχου. Δόξα τοῦ ἁγίου, ἦχος, δ΄. Ἐκ βρέφους ἐγένου. καὶ νῦν, ἦχος πλ. δ΄. Τῷ ἑκουσίως πτωχεύσαντι. Εἰς τὴν λειτουργίαν. Εὐαγγέλιον, ζήτει τῇ, γ΄, τῆς, δ΄, ἑβδομάδος τοῦ λουκᾶ. Καὶ τὰ λοιπά, εἰς ὁσίας γυναῖκας. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Εἰς τάς, κγ΄. Τῶν ἁγίων μαρτύρων· τροφίμου καὶ θεοφίλου, καὶ τῶν σὺν αὐτοῖς. Ἀλληλούϊα. ἦχος δ΄. Οἱ μάρτυρές σου κύριε.

Εἰς τάς, κδ΄. Τῆς ἁγίας μάρτυρος χριστίνης. Καὶ τῆς ἁγίας ὁσιομάρτυρος τοῦ Χριστοῦ παρασκευῆς. Ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ προσόμοια τῆς ἁγίας χριστίνης, ἦχος, δ΄. πρός, ὡς γενναῖον ἐν μάρτυσι. Θείαις ἐπιγνώσεσι. Δόξα, ἦχος, β΄. Ὡς ἀλάβαστρον μύρου. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος, β΄. Τῇ χριστοφορωνύμῳ σου κλήσει. καὶ νῦν, θ΄. προσόμοιον, Ἡ ἀμνάς σου ἰησοῦ. κράζει μεγάλῃ τῇ φωνῇ. Εἰς τὸν ὄρθρον μετὰ τὴν α΄ στιχολογίαν. Οἱ κανόνες τῆς ἁγίας. Ἀπὸ ϛ΄ ἐκτῆς τὸ κοντάκιον, ἦχος, δ΄. πρός ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Φωτοειδὴς ἐγνωρίσθης. ἔχουσα πτέρυγας χρυσᾶς, καὶ πρὸς ὕψος, τῶν οὐρανῶν κατέπαυσας χριστίνα σεμνή. ὅθεν σου τὴν ἔνδοξον ἑορτὴν ἐκτελοῦμεν. πίστει προσκυνοῦμεν τὰ λείψανα σου τὸν

θείων τῶν θήκην. ἐξ ἧς πηγάζει πᾶσιν ἀληθῶς, ἴαμα θεῖον, ψυχῆς τε καὶ σώματος. Ἕτερον τῆς ὁσίας παρασκευῆς, ἦχος, πλ. δ΄. πρός, τῇ ὑπερμάχῳ. Τὴν ἀθληφόρον οἱ πιστοὶ τὴν ὑμνητήριον. παρασκευήν, δεῦτε συμφώνως ἀναμέλψωμεν. ἀπαστράπτει γὰρ τοῖς θαύμασιν ἐν τῷ κόσμῳ. ἀπελαύνουσα τῆς πλάνης τὴν σκοτόμαιναν. καὶ παρέχουσα πιστοῖς τὴν χάριν ἄφθονον. τοῖς κραυγάζουσι. χαῖρε μάρτυς πολύαθλε. Εἰς τοὺς αἴνους στιχηρὰ, γ΄, τῆς ἁγίας, ἦχος, α΄. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τῶν αἴνων τῆς ὀκτωήχου. Δόξα, ἦχος, πλ. α΄. Τῇ παρθενικῇ σου θελχθείς. καὶ νῦν, θ΄. Εἰς τὴν λειτουργίαν. Ζήτει ἡ ἀκολουθία, εἰς γυναῖκας ἁγίας καὶ μάρτυρας.

Εἰς τάς, κε΄. Ἡ κοίμησις τῆς ἁγίας ἄννης, μητρὸς τῆς θεοτόκου. Καὶ μνήμη τῶν ὁσίων γυναικῶν ὀλυμπιάδος, καὶ εὐπραξίας. Ἑσπέρας εἰς τὸ κύριε ἐκέκραξα, στιχηρὰ, προσόμοια. Ἱστῶμεν στίχους, ϛ΄. στιχηρὰ, ἦχος, πλ. α΄. Πρὸς χαίροις ἡ μονοτιν χελιδόνων. Δι’ ἑπτὰ ὡς αὐτά. Δόξα, καὶ νῦν, ἦχος, πλ. δ΄. Ἡ ἐξ ἀκάρπου λαγόνων. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος, β΄, τῆς ἁγίας εὐπραξίας. Τὸν ὄντως ἐρῶντα. καὶ νῦν, ἦχος, πλ. δ΄. Διὰ τὴν πᾶσα κτίσις. τροπάριον, ἦχος, δ΄. Πρός, ταχὺ προκατάλαβε. Ζωὴν τὴν κυήσασαν ἐκυοφόρησας. ἁγνὴν θεομήτορα θεόφρον ἄννα. διό, πρὸς λῆξιν οὐράνιον εὐφραινομένων, κατοικίαν ἔνδοξον. χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων αἰτουμένη ἱλασμόν, ἀειμακάριστε. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία. Οἱ κανόνες τῆς

ὴ θήκην. ἐξῆς πυγάζει
ς, ἴαμα θεῖον, ψυχῆς π
. Ἕσπερον τῆς ὁσίας
ἦχος, πλ. δ΄. πρός, τῆς ὑπερ
αθληφόρων οἱ πιστοὶ τ
παρασκευῇ, δεῦτε συμ
μέλψωμεν. ἀπαστρά=
ψμασιν ἐν τῷ κόσμῳ.
τῆς πλάνης τὴν σκο=
ι παρέχουσα πιστοῖς τ
μον. τοῖς κραυγά=
μάρτυς πολύαθλε.
υς στιχηρὰ, ἀπόστιχα, τῆς ἁγίας,
ῶ, θεοτοκίον. Εἰς τὸν στίχον τῶν
κτωήχου. Δόξα, ἦχος,
ιθεμινῇ σου θελχθεὶς.
Εἰς τὴν λειτουργίαν.
ουθία, εἰς γυναῖκας ἀ=
υρας.
Ἡ κοίμησις τῆς ἁγίας
ς θεοτόκου. Καὶ μνή=
γυναικῶν ὀλυμπιάδος,
ας. Ἑσπέρας εἰς τὸ κύριε
προσόμοια. Ἴσως μεν
ς, πλ. δ΄. Πρὸς χαίροις ἡ
ν. Δεῦτε πρὸ ὧν τοῦ αὐ
καὶ νῦν, ἦχος, πλ. δ΄. Ἡ δὲ
γομένων. Εἰς τὸν στίχον στιχηρὰ
υ. Δόξα, ἦχος, β΄, τῆς
ξίας. Τὸν ὄντως ὄρω
ἦχος, πλ. δ΄. Δεῦτε πα
, ἦχος, δ΄. Πρός, τα=
λαβε. Ζωὴν τὴν κυή=
σόρησας. ἁγνὴν θεομή=
ν αἷμα. διό, πρὸς λῆξιν
φραινομένων, κατοικία
ουσα νῦν μετέστης, τοῖς
ω, πταισμάτων αἰτουμέ
, ἀειμακάριστε. Εἰς τὸν
ήθη στιχολογία. Οἱ κανόνες
τῆς



τῆς ὀκτωήχου, καὶ τῶν ἁγίων. Εἰς δὲ τῶν στίχων τῶν αἴνων στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, καὶ νῦν, ἦχος, πλ. δ΄. Οὐ ἐξ ἀκάρπων λαγόνων. Εἰς τὴν λειτουργίαν, ζήτει ὄπισθε Βείῳ, ἐν μάτῃ. Κοινωνικόν. Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν.

Εἰς τὰς, κς΄. Τοῦ ἁγίου ἱερομάρτυρος ἑρμολάου, καὶ τῶν σὺν αὐτῷ. Ἀλληλούια. ἢ τὸ, οἱ μάρτυρές σου κύριε.

Εἰς τὰς, κζ΄. Τοῦ ἁγίου μεγαλομάρτυρος καὶ ἰαματικοῦ παντελεήμονος. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν. Εἰς τὸ κύριε ἐκέκραξα ἱστῶμεν στίχους, ς΄. Καὶ ψάλλομεν στιχηρὰ προσόμοια, γ΄, ἦχος, δ΄. πρός. Ὁ ἐξ ὑψίστου κληθεὶς, τῆς. Ὁ ἐπαξίως κληθεὶς παντελεήμων. Ἕτερα στιχηρὰ ἀπόστιχα, ἦχος, β΄. Ἀθλοφόρε μάρτυς τὴν χάριν παρέχοις. λέγομεν καὶ ἐξ αὐτά, γ΄. Δόξα, ἦχος, πλ. β΄. Ἐξέλαμψε σήμερον, καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος, πλ. δ΄. Μητρικὴν ἀγαπήσας εὐσέβειαν. καὶ νῦν, θ΄. τροπάριον, ἦχος, γ΄. Ἀθλοφόρε ἅγιε καὶ ἰαματικὲ παντελεῆμον. πρέσβευε τῷ ἐλεήμονι θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν. Εἰς τὸν ὄρθρον, μετὰ τὴν στιχολογίαν. Ἀναγινώσκομεν τὸν βίον τοῦ ἁγίου δόσεως, β΄. Καὶ τὸ λοιπόν, εἰς τὴν τράπεζαν. Οἱ κανόνες τῆς ὀκτωήχου, καὶ τοῦ ἁγίου, εἰς ἕξ. Ἀπὸ ἕκτης τὸ κοντάκιον, ἦχος, πλ. α΄. Μιμητὴς ὑπάρχων τοῦ ἐλεήμονος. καὶ ἰαμάτων τὴν χάριν, παρ' αὐτοῦ κομισάμενος, ἀθλοφόρε καὶ μάρτυς χριστοῦ τοῦ θεοῦ. ταῖς εὐχαῖς σου τὰς ψυχικὰς ἡμῶν νόσους θεράπευσον. ἀπελαύνων τοῦ ἀεὶ πολεμίου τὰ σκάνδαλα. ἐκ τῶν βοώντων πιστῶς, σῶ=

Τυπ.

σον ἡμᾶς ἅγιε. Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια τοῦ ἁγίου, ἦχος, πλ. δ΄. πρός. Ὢ τοῦ παραδόξου θαύματος. Ἔργον προνοίας τῆς ἄνωθεν. Δόξα, ἦχος, δ΄. Σήμερον ἐξέλαμψε. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος, πλ. α΄. Δεῦτε φιλομάρτυρες. καὶ νῦν, θεοτοκίον. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἀπὸ τοῦ κανόνος. ᾠδὴ, γ΄. καὶ ᾠδὴ, ς΄. Προκείμενον, ἦχος, δ΄. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. στίχος. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεόν. ὁ ἀπόστολος. Πρὸς τιμόθεον. ζήτει τῇ κυριακῇ, λγ΄, Ἀλληλούια, ἦχος, δ΄. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ ἰωάννην. Εἶπεν ὁ κύριος, ταῦτα ἐντέλλομαι ὑμῖν. ζήτει σαββάτῳ, γ΄, τοῦ πάσχα. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Εἰς τὰς, κη΄. Τῶν ἁγίων ἀποστόλων καὶ διακόνων. προχόρου, νικάνορος, τίμωνος, καὶ παρμενᾶ. τροπάριον. Ἀπόστολοι ἅγιοι. Τῆς δὲ λειτουργίας, ἡ ἀκολουθία, ζήτει εἰς ἀποστόλους.

Εἰς τὰς, κθ΄. Τοῦ ἁγίου μάρτυρος καλλινίκου. τροπάριον. Ὁ μάρτυς σου κύριε. κοντάκιον. πρὸς τὰ ἄνω ζητῶν. Τὰ ἄνω περπνά, ἀξίως νῦν κεκλήρωσαι. χριστοῦ γὰρ σφοδρῶς, τῷ πόθῳ πυρακτούμενος. τοῦ πυρὸς καλλίνικε, διὰ αὐτοῦ ἀνδρείως κατετόλμησας. ὡς καὶ νῦν παρεστάμενος, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν. Ἀναγινώσκεται καὶ εἰς τὸν ὄρθρον, τὸ μαρτύριον αὐτοῦ.

Εἰς τὰς, λ΄. Τῶν ἁγίων ἀποστόλων, σίλα, καὶ σιλουανοῦ, καὶ τῶν σὺν αὐτοῖς. τροπάριον. Ἀπόστολοι ἅγιοι.

Εἰς τὰς, λα΄. Τοῦ ἁγίου καὶ δικαίου

ἀοίδιμου. καὶ προεόρτια τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. Εἰς τὸ λυχνικόν, ἡ συνήθης στιχολογία. Εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ϛ΄. καὶ ψάλλομεν τὰ προσόμοια τοῦ σταυροῦ, γ΄, καὶ τοῦ ὁσίου, γ΄. Τοῦ μὲν σταυροῦ, ἦχος α΄. πρὸς τῶν οὐρανίων ταγμάτων. Σύμπασα φύσις ἀνθρώπων. Τοῦ δὲ ἁγίου, ἦχος ὁ αὐτὸς. πρὸς. Τῶν οὐρανίων ταγμάτων. Μακαριώτατον τέλος. Δόξα τοῦ ἁγίου, ἦχος α΄. Πῶς μὴ θαυμάσωμεν τὴν πολιτείαν σου. καὶ νῦν, ἦχος α΄. Σήμερον ὡς ἀληθῶς. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, καὶ νῦν, ἦχος β΄. Σύ μου σκέπη κραταιά. στρ., ἦχος δ΄. πρὸς. Ταχὺ προκατάλαβε.

Ἐκ γῆς ὁ καλέσας σε, πρὸς οὐρανίους σκηνάς. τηρεῖ καὶ μετὰ θάνατον, ἀλώβητον, τὸ σῶμά σου ἅγιε. σὺ γὰρ ἐν σωφροσύνῃ, καὶ σεμνῇ πολιτείᾳ, μάκαρ ἐπολιτεύσω, μὴ μολύνας τὴν σάρκα. διὸ ἐν παρρησίᾳ Χριστῷ πρέσβευε, σωθῆναι ἡμᾶς. Δόξα, καὶ νῦν. Σῶσον κύριε τὸν λαόν σου. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία. Καὶ ἀναγινώσκομεν, ἐκ τοῦ βίου τοῦ ἁγίου. Τὸ δὲ λοιπὸν, εἰς τὴν τράπεζαν. Κανόνες τῆς ὀκτωήχου, εἷς. Καὶ ὁ προεόρτιος, καὶ τοῦ ἁγίου. Ἀπὸ ϛ΄ ᾠδῆς, κοντάκιον τοῦ ἁγίου. πρὸς. Ἡ παρθένος σήμερον. Ἡ σεπτή σου σήμερον ἡμᾶς συνήθροισε μνήμη. ἐν τῇ θείᾳ λάρνακι τῶν ἱερῶν σου λειψάνων. [illegible] ὅσοι προσιόντες καὶ προσκυνοῦντες. ἅπασαν δαιμόνων βλάβην ἀποσοβοῦνται. καὶ ποικίλων νοσημάτων λυτροῦνται τάχος, μάκαρ ἀοίδιμε. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, καὶ νῦν, ἦχος πλ. β΄. Τῶν προφητῶν αἱ φωναί.

Εἰς τὴν λειτουργίαν.
Ἡ ἀκολουθία
κοινή.

Τέλος τοῦ τύπου, τοῦ μηνὸς ἰουλίου.

## Εἴδησις τοῦ τύπου τοῦ μηνὸς αὐγούστου, Κεφάλαιον, κϛ΄.

Μὴν αὔγουστος, ἔχων ἡμέρας, λα΄. ἡ ἡμέρα ἔχει ὥρας, ιγ΄. καὶ ἡ νύξ, ὥρας, ια΄.

Εἰς τὴν α΄. Ἡ πρόοδος τῶν τιμίων ξύλων, τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. Καὶ μνήμη τῶν ἁγίων ἑπτὰ μαρτύρων τῶν μακκαβαίων. Καὶ τῆς μητρὸς αὐτῶν σολομονῆς. Καὶ τοῦ διδασκάλου αὐτῶν, ἐλεαζάρου.

Πρὸ τοῦ σημάναι, μετακομίζεται τὸ τίμιον ξύλον τοῦ σταυροῦ, ἀπὸ τοῦ σκευοφυλακίου. καθὼς ἐν τῇ, ιδ΄, τοῦ σεπτεμβρίου μηνός, ἀναγέγραπται. Ἑσπέρας ἡ συνήθης στιχολογία. Εἰς τὸ κύριε ἐκέκραξα τὰ προσόμοια τοῦ σταυροῦ, γ΄, καὶ τῶν ἁγίων, γ΄. Καὶ τοῦ μὲν σταυροῦ, ἦχος δ΄. πρὸς ὡς γενναῖον ἐν μάρτυσιν. Ὡς κοινὸν φυλακτήριον. Τῶν δὲ ἁγίων, ἦχος α΄. πρὸς. Πανεύφημοι μάρτυρες ὑμᾶς. Τὸν μόνον τὸν ὅρον φορέσαντα. Δόξα, ἦχος πλ. δ΄. Οἱ ἅγιοι μακκαβαῖοι. καὶ νῦν, ὅμοιον. Ὁ μὲν πάλαι μωϋσῆς. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος πλ. δ΄. Ψυχαὶ δικαίων, ἐν χειρὶ κυρίου. καὶ νῦν ὁ αὐτός.

Ἡ φωνή

Ἡ φωνὴ τοῦ προφήτου σου. Τροπάριον, ἦχος α'. Ταῖς ἀλγηδόσι τῶν ἁγίων σου, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε· καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι φιλάνθρωπε δεόμεθα. Δόξα, καὶ νῦν. Σῶσον Κύριε τὸν λαόν σου. Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος. καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου. ἐν ᾧ ἡ συνήθης στιχολογία. Καὶ ἀνάγνωσις εἰς τὸν θεολόγον. Εἰς δὲ τὴν τράπεζαν ἀναγινώσκεται ἡ μετάφρασις τῶν ἁγίων. Οἱ κανόνες, τῆς ὀκτωήχου, εἰς, δ'. Καὶ τοῦ σταυροῦ εἰς, ς'. Καὶ τῶν ἁγίων, εἰς, δ'. Καταβασία. Σταυρὸν χαράξας Μωσῆς. Ἀπὸ ϛ' ἐκτῆς κοντάκιον, ἦχος β'. πρὸς τὰ ἄνω ζητῶν. Σοφίας Θεοῦ, οἱ στύλοι οἱ ἑπτάριθμοι. καὶ θείου φωτός, οἱ λύχνοι οἱ ἑπτάφωτοι. Μακκαβαῖοι πάνσοφοι, πρὸ μαρτύρων μέγιστοι μάρτυρες· σὺν αὐτοῖς τὸν πάντων Θεὸν αἰτεῖσθαι, σωθῆναι τοὺς τιμῶντας ὑμᾶς. Εἰς τοὺς αἴνους.

Τὸ πᾶσα πνοή, στιχηρὰ προσόμοια τοῦ σταυροῦ, ἦχος δ'. Δευτεροῦντες τὸ α'. πρὸς. Ὡς γενναῖον ἐν μάρτυσιν. Ἐν φωναῖς ἀλαλάξωμεν. Δόξα, ἦχος δ'. Τὸν κατὰ τῶν Μακκαβαίων. καὶ νῦν, ἦχος ὁ αὐτός. Ὁ συμμαχήσας Κύριε. Δοξολογία μεγάλη. Καὶ ὅτε ἀπαρξώμεθα τῆς δοξολογίας, ἀλλάσσει ὁ ἱερεύς. Καὶ λαβὼν θυμιατόν, θυμιᾷ τὴν ἁγίαν τράπεζαν, καὶ τὸν τίμιον σταυρόν. Εἶθ' οὕτως λαμβάνει αὐτὸν ἐπὶ δίσκου ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. Καὶ ἐξέρχεται ἐκ τοῦ ἀριστεροῦ βήματος. Προπορευομένων αὐτοῦ λαμπάδων δύο, καὶ τοῦ θυμιατοῦ. Καὶ ἀπέρχεται εἰς

Τὰς

τὰς βασιλικὰς πύλας. Τελεσθείσης δὲ τῆς δοξολογίας καὶ τοῦ τρισαγίου, λέγει ὁ ἱερεύς. Σοφία ὀρθοί. καὶ ἀρχόμεθα τοῦ τροπαρίου. Σῶσον Κύριε τὸν λαόν σου. Καὶ εἰσοδεύει ὁ ἱερεύς. φέρων τὸ τίμιον ξύλον, μέσον τοῦ ναοῦ. Κἀκεῖσε προετοιμασθέντος τοῦ τετραποδίου. Τίθησιν αὐτῷ ἐπάνω. Καὶ εὐθέως ἡ ἀκολουθία τοῦ ἁγιασμοῦ. πρὸς. Ἡ τὸ χαῖρε δι' ἀγγέλου δεξαμένη, καὶ τεκοῦσα τὸν κτίστην. Καὶ μετὰ τὸν ἁγιασμόν, ὁ ἱερεύς. Ἀποτίθησι τὸ τίμιον ξύλον ἐν τῷ δίσκῳ. Καὶ εὐθέως λέγομεν. Τὸν σταυρόν σου προσκυνοῦμεν δέσποτα, καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν. Καὶ ἄρχεται προσκυνεῖν ὁ προεστώς, καὶ οἱ ἱερεῖς. Ψάλλοντες μετανοίας, γ'. κατενώπιον τοῦ τιμίου σταυροῦ. Καὶ μετὰ τὸ ἀσπάσασθαι. Ψάλλουσιν, μετάνοιαν ὁμοῦ. Εἶθ' οὕτως εἰς τοὺς χορούς. δεξιὰ καὶ ἀριστερά. Εἶτα εἰσέρχονται οἱ ἀδελφοί, δύο, δύο, προσκυνοῦντες κατὰ τὴν τάξιν αὐτῶν. Ἵσταται δὲ ὁ ἱερεύς, εἰς τὸν τίμιον σταυρὸν πλησίον. Κρατῶν τὸ ἁγίασμα, καὶ κλάδον βασιλικόν. Καὶ μετὰ τὸν ἀσπασμόν. Ἁγιάζων τοὺς ἀδελφοὺς ἐκ τοῦ ἁγιάσματος. Καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ. Ψάλλομεν δὲ στιχηρόν, ἦχος β'. Δεῦτε πιστοί, τὸ ζωοποιὸν ξύλον προσκυνήσωμεν. καὶ πάλιν. Τὸν σταυρόν σου προσκυνοῦμεν δέσποτα. ἐκ τρίτου. Δόξα, καὶ νῦν, ἦχος, πλ. β'. Σταυρὲ τοῦ Χριστοῦ. Εἶτα διέρχεται ὁ τίμιος σταυρός, μετὰ λιτῆς, περὶ τὰ ἐντὸς τῆς μονῆς. ἤγουν εἰς τὸ ἡγουμενεῖον.

εἰς τὸ οἰνοχοεῖον. Καὶ εἰς τὴν τράπεζαν. Εἰς τὸ κελλάριον. Εἰς τὰ ὅρια. Καὶ ἐν πᾶσι τοῖς κελλίοις τῶν ἀδελφῶν. Καὶ ὑποστρεφόντων ἡμῶν. Γίνεται τελεία ἀπόλυσις:—

Εἰς τὴν λειτουργίαν. Ἡ ἀκολουθία σταυρώσιμος. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ. Ἀποκομίζεται πάλιν τὸ τίμιον ξύλον τοῦ σταυροῦ, ἐν τῷ σκευοφυλακείῳ, διὰ τοῦ ἱερέως, καὶ τῶν λοιπῶν ὡς δεδήλωται:—

Εἰς τὰς, β΄. Ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος, καὶ ἀρχιδιακόνου, Στεφάνου. Ἑσπέρας ἡ συνήθης στιχολογία. Εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια τοῦ ἁγίου, γ΄. καὶ ἕτερα ἰδιόμελα, τοῦ ἁγίου, γ΄, ἦχος, β΄. Δόξα, ἦχος, πλ. β΄. Πρῶτος ἐν μάρτυσιν. καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος, πλ. δ΄. Χαίροις ἐν κυρίῳ Στέφανε, καὶ νῦν, θεοτοκίον. Τροπάριον, ἦχος, δ΄. πρὸς, Ταχὺ προκατάλαβε. Βασίλειον διάδημα, ἐστέφθη σῇ κορυφῇ. ἐξ ἄθλων ὧν ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ θεοῦ, μαρτύρων πρωτάθλε. σὺ γὰρ τὴν Ἰουδαίων, ἀπελέγξας μανίαν. εἶδές σου τὸν σωτῆρα, τοῦ πατρὸς δεξιόθεν. αὐτὸν οὖν ἐκδυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Εἰς τὸν ὄρθρον, μετὰ τὴν α΄ στιχολογίαν. Οἱ κανόνες τῆς ὀκτωήχου, καὶ τοῦ ἁγίου, εἰς, ς΄. Ἀφ' ἕκτης τὸ κοντάκιον, ἦχος, πλ. δ΄. Πρῶτος ἐσπάρης ἐπὶ γῆς, ὑπὸ τοῦ οὐρανίου γεωργοῦ πανεύφημε. πρῶτος τὸ αἷμα ἐπὶ τῆς γῆς διὰ Χριστὸν ἐξέχεας μακάριε. πρῶτος ὑπ' αὐτοῦ τὸν τῆς νίκης στέφανον ἀνεδήσω, ἐν οὐρανοῖς, ἀθλητῶν προοίμιον, στεφανῖτα τῶν μαρτύρων ὁ πρωτάθλος. Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια τοῦ ἁγίου. Δόξα, ἦχος, δ΄. Στέφανος ἡ καλὴ ἀπαρχή. καὶ νῦν, θ΄. Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δόξα, ἦχος, πλ. α΄. Πρωτομάρτυς ἀπόστολε. καὶ νῦν, θεοτοκίον. Εἰς τὴν λειτουργίαν προκείμενον, ἦχος βαρύς. Εὐφρανθήσεται δίκαιος. στίχος. Εἰσάκουσον ὁ θεός. Ὁ ἀπόστολος. Πράξεων τῶν ἀποστόλων τὸ ἀνάγνωσμα. Ἐν ταῖς ἡμέραις ἐκείναις. Στέφανος πλήρης πνεύματος ἁγίου. ζήτει τῇ, β΄, τῆς, γ΄, ἑβδομάδος τοῦ πάσχα. Ἀλληλούϊα. ἦχος, δ΄. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Μάρκον. Εἶπεν ὁ κύριος τὴν παραβολὴν ταύτην. ἄνθρωπος τις ἐφύτευσεν ἀμπελῶνα. ζήτει τῇ, ς΄, τῆς, ιε΄. ἑβδομάδος τοῦ Λουκᾶ. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν:—

Εἰς τὰς, γ΄. Τῶν ὁσίων πατέρων ἡμῶν, Ἰσαακίου, Δαλμάτου, καὶ Φαύστου. Ἀλληλούϊα. ἤ. Ὁ θεὸς τῶν πατέρων ἡμῶν:—

Εἰς τὰς, δ΄. Τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ. Καὶ τῆς ἁγίας ὁσιομάρτυρος, Εὐδοκίας. Τροπάριον, τῶν ἁγίων, πρὸς τό. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως. Οἱ τὰ τοῦ κόσμου ὡς φθαρτὰ παριδόντες. καὶ τὰς ἀφθάρτους, δωρεὰς εἰληφότες. κατὰ φθορᾶς διέμειναν, τεθνηξάντες ἐκτός. ὅθεν ἐξανέστησαν, μετὰ πλείονας χρόνους. ἅπασαν ἀνθάψαντες, δυσμενῶν ἀπιστίαν. οὓς ἐν αἰνέσει σήμερον. πιστοί, ἀνευφημοῦντες Χριστὸν ἀνυμνήσωμεν.

Εἰς τὰς, ε΄. Προεόρτια τῆς μεταμορφώσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ τοῦ ἁγίου μάρτυρος, Εὐσιγνίου. Ἑσπέρας ἡ συνήθης

στιχολο

προσόμοια τοῦ ἁγίου. Δό-
, δ΄. Στέφανος ἡ καλὴ
. καὶ νῦν, ς΄. Εἰς τὸν στίχον
τωήχου. Δόξα, ἦχος, πλ. α΄.
μάρτυς ἀπόστολε. καὶ νῦν,
τὴν λειτουργίαν προκείμε
ς βαρύς. Εὐφρανθήσεται
στί. Εἰσάκουσον ὁ θεὸς. ὁ
ος. Πράξεων τῶν ἀποστό-
ἀνάγνωσμα. Ἐν ταῖς ἡ-
κείναις. στέφανος πλήρης
ου. ζήτει τῇ, β΄, τῆς, γ΄, ἑβ-
τοῦ πάσχα. Ἀλληλούϊα.
ίκαιος ὡς φοίνιξ ἀνθήσει.
ιον κατὰ μάρκον. Εἶπεν ὁ
κβολὴν ταύτην. ἄνθρωπος τὶς
ν ἀμπελῶνα. ζήτει τῇ,
. ἑβδομάδος τοῦ λουκᾶ.
ὸν. Εἰς πᾶσαν τὴν γῆν
:~
. Τῶν [illegible] ίων πατέρων ἡ-
ακίου, δαλμάτου, καὶ φαύ
Ἀλληλούϊα. ἤ. Ὁ θεὸς τῶν
ἡμῶν:~
δ΄. Τῶν ἁγίων ἑπτὰ παί-
ἐν ἐφέσῳ. Καὶ τῆς ἁγίας
υρος, εὐδοκίας. προσόμοια, τῶν μα
ὸς τὸ. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ
. Οἱ τὰ τοῦ κόσμου ὡς
παριδόντες. καὶ τῆς ἀφ-
θαρσίας εἰληφότες. κατὰ
ιέμειναν, τεθνήξαντες ἐκτὸς.
ίσαντες, μετὰ πλείονας χρό
κόσαν ἐνθάψαντες, δυσμενῶν
ους ἐν αἱρέσει σήμε. πιστῶς
μοῦντες χριστὸν ἀνυμνήσωμεν.
ε΄. Προεόρτια τῆς μετα-
σεως τοῦ κυρίου ἡμῶν ἰησοῦ
καὶ τοῦ ἁγίου μάρτυρος,
. Ἑσπέρας ἡ συνήθη
στιχολο

στιχολογία. Εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ
προσόμοια προεόρτια, γ΄. Καὶ τοῦ
ἁγίου, καὶ τὰ μὲν τῶν προεορτίων,
ἦχος, δ΄. πρὸς, ἔδωκας σημείω-
σιν. Δεῦτε συνανέλθομεν. Δόξα,
ἦχος, πλ. β΄. Δεῦτε ἀναβῶμεν, εἰς τὸ
ὄρος κυρίου. Εἰς τὸν στίχον στιχηρὰ προσόμοια,
ἦχος, α΄. πρὸς τῶν οὐρανίων ταγμά-
των. Τῆς παναγίας ἐνδόξου, με-
ταμορφώσεως. στίχος. Θαβὼρ καὶ ἑρ
μὼν ἐν τῷ ὀνόματί σου. στί. Σοί εἰ-
σιν οἱ οὐρανοὶ, καὶ σοί ἐστιν ἡ γῆ. Δό
ξα, καὶ νῦν, ἦχος, β΄. Ὁ ἐν τῷ ὄρει τῷ
θαβὼρ μεταμορφωθεὶς. τροπά-
ριον, ἦχος, δ΄. Πρὸς ταχὺ προκα
τάλαβε. Χριστοῦ τὴν μεταμόρφω-
σιν προϋπαντήσωμεν, φαιδρῶς
πανηγυρίζοντες τὰ προεόρτια, πι-
στοὶ καὶ βοήσωμεν. ἔφθασεν ἡ ἡμέ
ρα, τῆς ἐνθέου εὐφροσύνης. ἄνεισιν
εἰς τὸ ὄρος, τὸ θαβὼρ ὁ δεσπότης.
τῆς θεότητος ἀπαστράψαι τὴν ὡραιό
τητα. Εἰς τὸν ὄρθρον ἡ συνήθη ἀκο
λουθία. Κανὼν τῆς ὀκτωήχου, εἷς,
καὶ τοῦ ἁγίου. καὶ προεόρτιος, ἦχος,
δ΄. Ἀνοίξω τὸ στόμα μου. καὶ τριώ
διον. Ὅτε δὲ ψάλλεται τὸ τριώδιον,
καταλιμπάνεται ἡ ὀκτώηχος.
Εἰς τὸν στίχον στιχηρὰ τῆς ὀκτωήχου. Δό-
ξα, ἦχος, πλ. δ΄. Νόμου καὶ προφη
τῶν σε χριστέ:~

Χρὴ γινώσκειν. ὅτι ἐὰν φθάσει γενέ-
σθαι ἡ μεταμόρφωσις ἐν κυριακῇ.
οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν.
οὔτε δὲ εὐαγγέλιον ἑωθινὸν λέγο-
μεν, ἢ τῆς λειτουργίας, τῆς κυριακῆς.
Ἀλλὰ πάντα τῆς ἑορτῆς:~

Εἰς τὰς, ς΄. Ἡ ἁγία μεταμόρφω-
σις τοῦ κυρίου καὶ θεοῦ, καὶ σωτῆρος ἡμῶν, ἰησοῦ
χριστοῦ. Ἐν τῷ μικρῷ ἑσπερινῷ, στιχηρὰ
προσόμοια, ἦχος, δ΄. Δεῦτε καὶ ἡ-
μεῖς, καλὴν. Δόξα, καὶ νῦν, ἦχος, ς΄. Ὁ
φωτίσου ἅπα. εἰς τὸν στίχον, ἦχος, ς΄. Δόξα
καὶ νῦν, ὁ αὐτὸς. Ἥλιος ἐκ γαστρὸς:~

Ἐν τῷ μεγάλῳ ἑσπερινῷ. στιχολογία οὐ γί
νεται. Εἰς τὸ κύριε ἐκέκραξα στιχηρὰ, ἰδιόμελα,
ἦχος, δ΄. ἱστῶμεν στίχους, η΄. Δευτεροῦν
τες αὐτά. Δόξα, καὶ νῦν, ἦχος, πλ. β΄.
Προτυπῶν τὴν ἀνάστασιν. Εἴσοδος.
Καὶ τὸ προκείμενον τῆς ἡμέρας.
Καὶ ἀναγνώσματα. Τὸ μέν, α΄. Τῆς ἐξό-
δου τὸ ἀνάγν. Εἶπεν ὁ κύριος πρὸς μω-
σῆν. Τὸ δὲ δεύτερον. Τῆς ἐξόδου
τὸ ἀνάγ. Ἐλάλησε κύριος πρὸς μω-
σῆν, ἐνώπιος ἐνωπίῳ. Τὸ δὲ τρίτον.
Βασιλειῶν τρίτης. Ἐν ταῖς ἡμέ-
ραις ἐκείναις, ἔρχεται ἡλιοῦ, εἰς βηρ
σαβεέ. Εἰς τὴν λιτὴν, ἰδιόμελα, ἦχος, ς΄.
Ὁ φωτίσου ἅπασαν, ἦχος, β΄. Ὁ ἐν
τῷ ὄρει τῷ θαβὼρ, ἦχος, ς΄. Τὸ προή
λιον σέλας χριστέ. Δόξα, ἦχος, πλ. δ΄. Δεῦ
τε ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου. καὶ νῦν
ἦχος, πλ. δ΄. Νόμου καὶ προφητῶν σε
χριστέ. Εἰς τὸν στίχον στιχηρὰ ἰδιόμελα, ἦχος,
α΄. Ὁ πάλαι τῷ μωσεῖ συλλαλή-
σας. στίχος. Σοί εἰσιν οἱ οὐρανοί, καὶ σοί
ἐστιν ἡ γῆ, ἦχος, α΄. Τὴν σὴν τοῦ μο-
νογενοῦς. στίχος. Θαβὼρ καὶ ἑρμὼν ἐν
τῷ ὀνόματί σου, ἦχος, α΄. Τὸ ἄσχετον
τῆς σῆς φωτοχυσίας. Δόξα, καὶ νῦν,
ἦχος, πλ. β΄. Πέτρῳ καὶ ἰωάννῃ καὶ
ἰακώβῳ. τροπάριον, ἦχος, βαρύς. λέγε-
ται ἐκ τρίτου. Μετεμορφώθης ἐν
τῷ ὄρει χριστὲ ὁ θεός, δείξας τοῖς μαθη-
ταῖς σου τὴν δόξαν σου. καθὼς ἠδύ-
ναντο. λάμψον καὶ ἡμῖν τοῖς ἁμαρ
τωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον. πρεσ-
βείαις τῆς θεοτόκου, φωτοδότα, δόξα σοι.
Καὶ ἡ εὐλόγησις τῶν ἄρτων. Καὶ ἀνά-
γνωσις, ἀπὸ τῶν ἐγκωμίων τῆς ἑορτῆς.

Ζήτει καὶ εἰς τὸ, β΄. βιβλίον τοῦ κατὰ ματθαῖον, λόγον, μϛ΄. καὶ, μζ΄. Τὸν ἑξάψαλμον, ἡ συνήθης στιχολογία. Καὶ ὁ πολυέλεος. Οἱ ἀναβαθμοί, τὸ, α΄, ἀντίφωνον, τοῦ δ΄, ἤχου. προκείμενον, ἦχος, δ΄. Θαβὼρ καὶ ἑρμὼν ἐν τῷ ὀνόματί σου. στί. Σοί εἰσιν οἱ οὐρανοί. Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ. παραλαμβάνει ὁ περὶ τὸν κοφός. Κανόνες, β΄. ὁ ἦχος, δ΄. μετὰ τῶν εἱρμῶν, εἰς, η΄. καὶ ὁ ἀλλ. τὰ προεόρτια, εἰς, ϛ΄. ἦχος, δ΄. Χοροὶ ἰσραήλ, ἀνικμοῖς ποσί. καὶ ὁ ἕτερος κανών, ἦχος, ἀλλ. πρός. Τὴν πρὶν ὁδεύσας. Μωσῆς ἐν θαλάσσῃ προφητικῶς. καταβασία. Σταυρὸν χαράξας μωσῆς. Ἀπὸ, γ΄, ᾠδῆς τὰ καθίσματα. Μετὰ τὴν ἕκτην τὸ κοντάκιον, ἦχος, βαρύς. Ἐπὶ τοῦ ὄρους μετεμορφώθης. καὶ ὡς ἐχώρουν οἱ μαθηταί σου τὴν δόξαν σου χριστὲ ἐθεάσαντο. ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον. τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ πατρὸς τὸ ἀπαύγασμα.

Εἰς τὴν, θ΄. δίδονται κλεῖα τοῖς ἀδελφοῖς. Ἐξαποστειλάριον λέγεται ἐκ τρίτου. Φῶς ἀναλλοίωτον λόγε. Εἰς τοὺς αἴνους πᾶσα πνοή. στιχηρά, ἰσταμεν, στί, δ΄. ἦχος, δ΄. δευτεροῦντες, τὸ ἕν. πρός. Ἐξ ὑψίστου κληθείς. Πρὸ τοῦ τιμίου σταυροῦ σου καὶ τοῦ πάθους. Δόξα, καὶ νῦν, ἦχος, ἀλλ. Προέλαβεν ὁ χριστὸς τὸν πέτρον. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Δίδοται δὲ καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς. Εἰς τὴν λειτουργίαν τυπικά, καὶ ἐκ τῶν κανόνων, ᾠδὴ γ΄, καὶ ᾠδὴ ϛ΄. προκείμενον, ἦχος, δ΄. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε. στί. Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. ὁ ἀπόστολος. Καθολικῆς ἐπιστολῆς, πέτρου, τὸ ἀνάγ. Ἀδελφοί σπουδάσατε βεβαίαν ὑμῶν. Ἀλληλούια, ἦχος, ἀλλ. Σοί εἰσιν οἱ οὐρανοί. στί. Μακάριος ὁ λαὸς ὁ γινώσκων. Εὐαγγέλιον κατὰ ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ. παραλαμβάνει ὁ ἰς τὸν πέτρον. Κοινωνικόν, ἦχος, γ΄. Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου κύριε πορευσόμεθα. καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιασόμεθα. εἰς τὸν αἰῶνα. ἀλληλούια.

Δεῖ εἰδέναι. ὅτι παράδοσιν ἔχομεν, ἐκ τῶν ἁγίων πατέρων, κατὰ τὴν σωτήριον ταύτην ἑορτὴν τῆς μεταμορφώσεως, ἐσθίειν σταφύλας, τὴν εὐλογίαν πρότερον παρὰ τοῦ ἱερέως ἐν τῇ ἐκκλησίᾳ δεχομένας. Ὁ δὲ γε φωραθησόμενος τῶν ἀδελφῶν πρὸ τῆς τοιαύτης ὥρας σταφυλὴν ἐσθίων. τῆς παρακοῆς ἐντεῦθεν ἕξει τὸ ἐπιτίμιον. καὶ οὐκ ἀπογεύεται σταφυλῆς, παρ' ὅλον τὸν αὔγουστον μῆναν. ὡς ὁ ἐν τῷ λαῷ θεσμὸς παραβάς. ὡς ἂν οὕτω μάθοι ἐγκρατεύεσθαι αὐτοῖς. Ἡ αὐτὴ δὲ παρατήρησις, κρατήσει πάντως καὶ ἐπὶ τοὺς ἐργαζομένους τοὺς ἀμπελῶνας μοναχούς. Σταφύλας δὲ ἐπὶ τῆς τραπέζης μετὰ τὴν ἑορτήν, τρίτον τῆς ἑβδομάδος, ὀφείλουσι προτίθεσθαι. καὶ τρίτον ταύτας ἐσθίεσθαι παρὰ τῶν ἀδελφῶν. Τὸ αὐτὸ δὲ γίνεσθαι καὶ ἀπὸ τῶν σύκων, καὶ ἀπὸ τῶν λοιπῶν ὀπωρῶν. κατὰ τοὺς καιροὺς δηλονότι τούτων. Ταῦτα δὲ λέγομεν, ἐκ τῶν ἀπὸ συγκυκλάτων χορηγουμένων. ἐσθίειν γὰρ ταῦτα ἐν τοῖς καιροῖς αὐτῶν καθ' ἑκάστην συγχωροῦμεν τοῖς ἀδελφοῖς.

